ἢ ἐκ τριῶν ἢ πάντοθεν, ὀφείλει ὡς ἔοικε πορεύεσθαι, ἢ ἐν δυπλεύ-
ρῳ ἢ ἐν τριπλεύρῳ ἢ ἐν τετραπλεύρῳ. ὡς γίνεσθαι αὐτὴν, ποτὲ μὲν
μονοφαλαγγίαν ποτὲ δὲ διφαλαγγίαν, ἢ τετραφαλαγγίαν. ἀμ-
φίστομος δὲ φάλαγξ. διαφέρει τῆς ἀντιστόμου. ὅτι ἡ μὲν ἀμφίστομος
ἐκ τῶν δύο πλαγίων ἔχει τὰς μάχας καὶ τὰ στόματα. ἤγουν τὰς ἡμί- ἀμφίστομος φάλαγξ.
σεις, τῶν πεζῶν ἐστραμμένους εἰς τὸ ἕνα πλαγίον. καὶ τοὺς ἡμίσεις
εἰς τὸ ἄλλο. ἡ δὲ ἀντίστομος, ἐκ τῶν ἔμπροσθεν καὶ ὄπισθεν. πλαίσιον
ἐστὶν ὅταν τις ἐκ τῶν τεσσάρων πλευρῶν τὰς παρατάξεις ποιήσεται. ἀντίστομος φάλαγξ. πλαίσιον.
οὐκ ἐν τετραγώνῳ. ἀλλ' ἑτερομήκει σχήματι. ἤγουν ἵνα ἔχει πολλαπλα-
σίως τὸ βάθος τοῦ μήκους. πλαίσιον δὲ λέγεται, ὅταν ἐκ πάντων τῶν
πλευρῶν ὁπλῖται εἰσί τῶν πεζῶν καὶ σφενδοβολιστῶν κατὰ τοῦ
μέσου τεταγμένων. πλινθίον ἐστὶ ὃ καὶ ἰσόπλευρον καλεῖται, ὅταν
τις ἐκ τῶν τεσσάρων πλευρῶν, ἴσας τετραγώνους φάλαγγας παρα- πλινθίον.
τάξηται ἐν τετραγώνῳ σχήματι. ἐστι δὲ ἴσον καὶ τῷ σχήματι καὶ τῷ ἀ-
ριθμῷ. τῷ σχήματι μὲν, ὅτι πανταχόθεν ἴσα ἔχει τὰ διαστήματα.
τῷ ἀριθμῷ δὲ, ὅτι ὅσους ἔχει τὸ μῆκος, τοσούτους καὶ τὸ βάθος. ἐν δὲ τῷ
τοιούτῳ τάγματι. ἐκ τῶν τεσσάρων πλευρῶν, ὁπλῖται μόνοι παρατάσ-
σονται. οὔτε πεζοὶ οὔτε σφενδοβολισταὶ ἐν τοῖς πλευροῖς τούτοις συντασ-
σομένου. ὑπερφαλάγγια δὲ ἐστὶν ὅταν τὸ μῆκος τῆς μιᾶς φάλαγγος,
εἴτε τῆς ἡμετέρας εἴτε τῆς πολεμίας ἐξ ἑκατέρων μερῶν τῆς φά-
λαγγος.

ὑπερκέρασις δὲ ἐστὶν ὅταν ἡ ἡμετέρα ἢ τῶν πολεμίων ἐξ ἑνὸς μέρους ὑπερκέρασις
εἴτε καὶ τοῦ εὐωνύμου. εἴτε καὶ τοῦ δεξιοῦ. ὑπερέχει κατὰ μῆκος τῆς ἑτέρας
πολλάκις καὶ ὀλιγοτέρους ἔχουσα ἄνδρας. ὑπερέχει τοῦ ἑνὸς μέρους, τὴν
πλείονας ἔχουσαν φάλαγγα νικῆσαι δὲ οὐ δύναται, εἰ μὴ πλεῖον ἔχει
τὸ πλῆθος ἔχουσα καὶ τὸ βάθος λεπτύνουσα. ἐπέκτασιν ἐποιήσεται.
ἰστέον δὲ ὅτι ἓξ πόδες ποιοῦσιν ὀργυίαν μίαν. αἱ δὲ ἑκατὸν ὀργυίαι
στάδιον ἕν· τὰ δὲ ἑπτὰ καὶ ἥμισυ στάδια, μίλιον ἕν. ὥστε ἔχειν τὸ μί-
λιον, πόδας τετράκις χιλίους πεντακοσίους: τῷ δὲ θεῷ ἡμῶν, πρέ-
πει τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

καὶ ὕμνοις ψαλλόμενος εἰς πολέμους. κτ ἦχος α

ὁ πάλαι Ἰησοῦ τοῦ Ναυῆ συμμαχήσας ἀγγέλου φοβερᾷ καὶ φρικτῇ παρ-
ουσίᾳ. αὐτὸς ἐξαπόστειλον σῆς εἰρήνης τὸν ἄγγελον. ἐνισχύοντα σου
τὸν λαὸν ἐν πολέμοις καὶ παρέχειν νίκης ἀήττητον τρόπαιον, εἰς
δόξαν σου
κε

τέλος. τῷ θεῷ χάρις.

Scripsi mense April. de Codice Biblioth. Augustanae Reipublicae Ao 1716.
[illegible]